UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXI. Quomodo Apollonius Romae martyrium passus est.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὅπως ἐπὶ Ῥώμης ἐμαρτύρησεν Ἀπολλώνιος.

Κατὰ δὲ τὸν αὐτὸν τῆς Κομόδου βασιλείας χρόνον, μεταβέβλητο μὲν ἐπὶ τὸ πρᾶον τὰ καθ᾽ ἡμᾶς, εἰρήνης σὺν θείᾳ χάριτι τὰς καθ᾽ ὅλης τῆς οἰκουμένης διαλαβούσης ἐκκλησίας· ὅτε καὶ ὁ σωτήριος λόγος ἐκ παντὸς γένους ἀνθρώπων, πᾶσαν ὑπῆγε ψυχὴν ἐπὶ τὴν εὐσεβῆ τοῦ τῶν ὅλων Θεοῦ θρησκείαν· ὥστε ἤδη καὶ τῶν ἐπὶ Ῥώμης εὖ μάλα πλούτῳ καὶ B γένει διαφανῶν πλείους ἐπὶ τὴν σφῶν ὁμόσε χωρεῖν πανοικί τε καὶ παγγενῆ σωτηρίαν. οὐκ ἦν δ᾽ ἄρα τοῦτο τῷ μισοκάλῳ δαίμονι βασκάνῳ ὄντι τὴν φύσιν οἰστόν· ἀπεδύετο γοῦν αὖθις, ποικίλας τὰς καθ᾽ ἡμῶν μηχανὰς ἐπιτεχνώμενος. ἐπὶ γοῦν τῆς Ῥωμαίων πόλεως Ἀπολλώνιον ἄνδρα τῶν τότε πιστῶν ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ βεβοημένον, εἰς δικαστήριον ἄγει. ἕνα γέ τινα τῶν εἰς ταῦτα ἐπιτηδείων αὐτοῦ διακόνων, ἐπὶ κατηγορίᾳ τἀνδρὸς ἐγείρας. ἀλλ᾽ ὁ μὲν δείλαιος παρὰ καιρὸν τὴν δίκην εἰσελθών, ὅτι μὴ ζῆν ἐξὸν ἦν κατὰ βασιλικὸν ὅρον τοὺς C τῶν τοιῶνδε μηνυτάς· αὐτίκα κατάγνυται τὰ σκέλη, Περεννίου δικαστοῦ τοιαύτην κατ᾽ αὐτοῦ ψῆφον ἀπενέγκαντος. ὁ δέ γε θεοφιλέστατος μάρτυς, πολλὰ λιπαρῶς ἱκετεύσαντος τοῦ δικαστοῦ, καὶ λόγον αὐτὸν ἐπὶ τῆς συγκλήτου βουλῆς αἰτήσαντος, λογιωτάτην ὑπὲρ ἧς ἐμαρτύρει πίστεως ἐπὶ πάντων παρασχὼν ἀπολογίαν, κεφαλικῇ κολάσει ὡς ἀπὸ δόγματος συγκλήτου τελειοῦται· μὴ δ᾽ ἄλλως ἀφεῖσθαι τοὺς ἅπαξ εἰς δικαστήριον παριόντας καὶ μηδαμῶς τῆς προθέσεως μεταβαλλομένους, ἀρ- D χαίου παρ᾽ αὐτοῖς νόμου κεκρατηκότος. τούτου μὲν οὖν τὰς ἐπὶ τοῦ δικαστοῦ φωνὰς καὶ τὰς ἀποκρίσεις ἃς πρὸς πεῦσιν πεποίηται τοῦ Περεννίου, πᾶσάν τε τὴν πρὸς τὴν σύγκλητον ἀπολογίαν ὅτῳ διαγνῶναι φίλον, ἐκ τῆς τῶν ἀρχαίων μαρτυρίων συναχθείσης ἡμῖν ἀναγραφῆς εἴσεται.

Caput XXI.

Quomodo Apollonius Romæ martyrium paſſus eſt.

Eodem tempore Commodo Imperium Romanum obtinente, res quidem noſtræ in tranquilliore ſtatu verſabantur, pace per Dei gratiam cunctas orbis terrarum Eccleſias complexa. Atque interim ſalutaris Dei ſermo ex omni genere hominum quàmplurimos ad religioſum ſummi Numinis cultum pertrahebat: adeò ut multi ex iis qui in urbe Roma genere atque opibus eminebant, ſimul cum univerſa domo ac familia ſalutem conſecuturi accurrerent. Verùm infeſtiſſimus bonis omnibus dæmon & ſuopte ingenio invidus, iſtud ferre non potuit. Rurſus igitur varias adverſus nos machinas commentus armatur. Denique Romæ Apollonium quemdam è numero fidelium, qui in humanioribus literis & in Philoſophia eximius habebatur, in judicium adduxit, ſuſcitato ei accuſatore homine quodam perditiſſimo, qui ad hujuſmodi flagitia idoneus inprimis miniſter dæmonis videbatur. Sed miſer intempeſtivè ſuſcepta accuſatione, cùm ex Imperatoris edicto capitalis pœna in eos qui talia detuliſſent eſſet conſtituta, confeſtim fractis cruribus occiditur, Perenne ejuſmodi adverſus ipſum ſententiam pronuntiante. Martyr verò Deo acceptiſſimus, cùm Judex multis cum precibus obſecraſſet, petiſſetque ab illo uti coram Senatu rationem fidei ſuæ redderet, elegantiſſima oratione pro defenſione fidei ſuæ coram omnibus pronuntiata, capitali ſupplicio à Senatu damnatus eſt. Quippè veteri apud eos lege ſancitum erat, ut Chriſtiani qui ſemel in jus vocati fuerant, niſi à propoſito ſuo diſcederent, nequaquam dimitterentur. Porrò cuncta ab illo in judicio dicta, & quæcunque Perenni interroganti reſpondit, & orationem illam quam pro fidei noſtræ defenſione in Senatu habuit, quiſquis noſſe voluerit, ex antiquorum martyrum paſſionibus à nobis collectis poterit percipere.

Huc refer Niceph. c. 26. l. 4.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Τίνες κατὰ τούτους ἐπίσκοποι ἐγνωρίζοντο.

Δεκάτῳ γε μὴν τῆς Κομόδου βασιλείας ἔτει, δέκα πρὸς τρισὶν ἔτεσι τὴν ἐπισκοπὴν λελειτουργηκότα Ἐλεύθερον, διαδέχεται Βίκτωρ·

Caput XXII.

Quinam eo tempore Epiſcopi inclaruerint.

Intereà Commodo decimum annum Imperii agente, cùm Eleutherus tredecim annis epiſcopatum adminiſtraſſet,

Huc refer Niceph. c. 19. l. 4.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN